# **Métrodóros z Chiu**

Fragmenta: Volume-Jacoby F 1a43 = FGrH 43:

Fr. 1 = Athénaios, Deipnosophistae IV 184a (IV, 82.21 Kabel)
Μητρόδωρος δ᾽ ὁ Χῖος ἐν Τρωικοῖς σύριγγα μέν φησιν εὑρεῖν Μαρσύαν καὶ αὐλὸν ἐν Κελαιναῖς, τῶν πρότερον ἑνὶ καλάμωι συριζόντων. Εὐφορίων δ᾽ ὁ ἐποποιὸς ἐν τῶι Περὶ μελοποιῶν (F 58 Scheidw.) τὴν μὲν μονοκάλαμον σύριγγα Ἑρμῆν εὑρεῖν .... τὴν δὲ πολυκάλαμον Σιληνόν, Μαρσύαν δὲ τὴν κηρόδετον.

Fr. 2 = Schol Gen. I Hom. Il. Φ 444
θητεύσαμεν ζητεῖται διὰ τί ἐθήτευσαν. Ἑλλάνικός φησι πειράζοντες Λαομέδοντα. γράφει δὲ ἐν α τῶν Τρωικῶν ...... Μητρόδωρος ἐν Τρωικοῖς· ἆμετὰ ταῦτα λέγουσι παρ᾽ αὐτὸν ἀφικέσθαι δύο ἄνδρας, ὁπόθεν μὲν καὶ οἵτινες οὐδεὶς ἔχει εἰπεῖν ἀτρεκέως· ἐλθόντας δὲ εἰπεῖν ὅτι Λαομέδοντι χρὴ ἀνδρὶ βασιλεῖ εἶναι ἀκρόπολιν ἐν τῆι πόλει, ἐν ἧι αὐτὸν οἰκεῖν πρέποι·
᾽ἡμεῖς οὖν σοι θέλομεν τειχίον κτίσαι καὶ ἐπιστατῆσαι.᾽

Fr. 3 = Plútarchos, Quaest. conv. VI, 8, 1; p. 694ab
ἐδόκει δ᾽ ἡ βούβρωστις ἕτερον εἶναι (sc. τοῦ βουλίμου)· τὸ δὲ τεκμήριον ἐλαμβάνομεν ἐκ τῶν Μητροδώρου ᾽Ιωνικῶν. ἱστορεῖ γὰρ ὅτι Σμυρναῖοι τὸ παλαιὸν Αἰολεῖς ὄντες θύουσι Βουβρώστει ταῦρον μέλανα καὶ κατακόψαντες αὐτόδορον ὁλοκαυτοῦσιν.

Fr. 3bis = Plinius, Natur. hist. 5, 136
Chios libera, quam Aethaliam Ephorus prisco nomine appellat, Metrodorus et Cleobulus Chiam a Chione nympha, aliqui a nive, et Macrin et Pityusam.

Fr. 4 = Porphyrios in Schol. B Hom. Il. K 252 (I, 147, 18 Schrad.)
παρώιχηκεν δὲ πλέω νὺξ τῶν δύο μοιράων, τριτάτη δ᾽ ἔτι μοῖρα λέλειπται] ... Μητρόδωρος μὲν οὖν τὸ πλεῖον δύο σημαίνειν φησὶ παρ᾽ Ὁμήρωι· καὶ γὰρ τὸ σύνηθες, ὡς ὅταν λέγηι ᾽νώτου ἀποπροταμών, ἐπὶ δὲ πλεῖον ἐλέλειπτο᾽ (Od. θ 475) καὶ ᾽ἀλλὰ τὸ μὲν πλεῖον πολυάικος πολέμοιο χεῖρες ἐμαὶ διέπουσιν᾽ (Il. A 165). σημαίνει<ν δὲ> καὶ τὸ πλῆρες, ὡς ἐν τῶι ᾽σὸν δὲ πλεῖον δέπας αἰεὶ ἕστηκε᾽ (Il. Δ 262) καὶ ἐν τῶι ᾽πλεῖαί τοι χαλκοῦ κλισίαι᾽ (Il. B 226). νῦν οὖν τὸ πλέον ἀντὶ τοῦ πλῆρες εἰρῆσθαι ... Χρύσιππος δὲ .....